Κύρου βασιλέως Περσῶν, καὶ παρήγγειλεν κηρύξαι ἐν πάσῃ τῇ
βασιλείᾳ αὐτοῦ ἐν γραπτῷ λέγων [23]Τάδε λέγει Κῦρος βασιλεὺς 23
Περσῶν Πάσας τὰς βασιλείας τῆς γῆς ἔδωκέν μοι κύριος ὁ θεὸς
τοῦ οὐρανοῦ, καὶ αὐτὸς ἐνετείλατό μοι οἰκοδομῆσαι αὐτῷ οἶκον
ἐν Ιερουσαλημ ἐν τῇ Ιουδαίᾳ. τίς ἐξ ὑμῶν ἐκ παντὸς τοῦ λαοῦ
αὐτοῦ; ἔσται ὁ θεὸς αὐτοῦ μετ᾽ αὐτοῦ, καὶ ἀναβήτω.

22 κηρυξαι] του κηρ. αυτους A† || 23 πασαις ταις βασιλειαις BL†: ad praec. tracta | αυτω οικον] tr. B†

Subscr. παραλειπομενων β′ B, παραλειπομενων των βασιλειων ιουδα β′ A: cf. inscr.

## ΕΣΔΡΑΣ Α′

[1]Καὶ ἤγαγεν Ιωσιας τὸ πασχα ἐν Ιερουσαλημ τῷ κυρίῳ αὐτοῦ 1
καὶ ἔθυσεν τὸ πασχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ
πρώτου [2]στήσας τοὺς ἱερεῖς κατ᾽ ἐφημερίας ἐστολισμένους ἐν τῷ 2
ἱερῷ τοῦ κυρίου. [3]καὶ εἶπεν τοῖς Λευίταις, ἱεροδούλοις τοῦ Ισραηλ, 3
ἁγιάσαι ἑαυτοὺς τῷ κυρίῳ ἐν τῇ θέσει τῆς ἁγίας κιβωτοῦ τοῦ
κυρίου ἐν τῷ οἴκῳ, ᾧ ᾠκοδόμησεν Σαλωμων ὁ τοῦ Δαυιδ ὁ βασι-
λεύς Οὐκ ἔσται ὑμῖν ἆραι ἐπ᾽ ὤμων αὐτήν· [4]καὶ νῦν λατρεύετε 4
τῷ κυρίῳ θεῷ ὑμῶν καὶ θεραπεύετε τὸ ἔθνος αὐτοῦ Ισραηλ καὶ
ἑτοιμάσατε κατὰ τὰς πατριὰς καὶ τὰς φυλὰς ὑμῶν κατὰ τὴν γρα-
φὴν Δαυιδ βασιλέως Ισραηλ καὶ κατὰ τὴν μεγαλειότητα Σαλωμων
τοῦ υἱοῦ αὐτοῦ [5]καὶ στάντες ἐν τῷ ἱερῷ κατὰ τὴν μεριδαρχίαν 5
τὴν πατρικὴν ὑμῶν τῶν Λευιτῶν τῶν ἔμπροσθεν τῶν ἀδελφῶν
ὑμῶν υἱῶν Ισραηλ ἐν τάξει [6]θύσατε τὸ πασχα καὶ τὰς θυσίας 6
ἑτοιμάσατε τοῖς ἀδελφοῖς ὑμῶν καὶ ποιήσατε τὸ πασχα κατὰ τὸ
πρόσταγμα τοῦ κυρίου τὸ δοθὲν τῷ Μωυσῇ. [7]καὶ ἐδωρήσατο Ιω- 7
σιας τῷ λαῷ τῷ εὑρεθέντι ἀρνῶν καὶ ἐρίφων τριάκοντα χιλιάδας,
μόσχους τρισχιλίους· ταῦτα ἐκ τῶν βασιλικῶν ἐδόθη κατ᾽ ἐπαγ-
γελίαν τῷ λαῷ καὶ τοῖς ἱερεῦσιν καὶ Λευίταις. [8]καὶ ἔδωκεν Χελ- 8
κιας καὶ Ζαχαριας καὶ Ησυηλος οἱ ἐπιστάται τοῦ ἱεροῦ τοῖς ἱερεῦ-
σιν εἰς πασχα πρόβατα δισχίλια ἑξακόσια, μόσχους τριακοσίους.

Esdr. I (liber apocryphus; Latinis „Esdr. III“): BA; *L* = 19 108. Be. = J. A. Bewer, Der Text des Buches Ezra (Gött. 1922).

Inscr. ο ιερευς A†: cf. Esdr. II inscr. et amborum librorum subscriptiones

1 (cf. Par. II 35. 36) 1 εθυσε(ν) B^c pl.] -σαν B*A (+ οι υιοι ισραηλ A†): cf. Par. II 35 1 || 3 εαυτους] ε > B | ο του B†] ο υιος του rel. || 4 τω κυριω] tr. A | υμων 1⁰] ημ. A | τας 2⁰ > A† || 5 ιερω] αγιω B: cf. 2 7 || 6 του B†] > rel.